πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων αὐτοῦ.
20 ἐπελθὼν δὲ ἐπ᾽ ὄρος ἀκρότομον
ἐποίησεν χαρμονὴν τετράποσιν ἐν τῷ ταρτάρῳ·
21 ὑπὸ παντοδαπὰ δένδρα κοιμᾶται
παρὰ πάπυρον καὶ κάλαμον καὶ βούτομον·
22 σκιάζονται δὲ ἐν αὐτῷ δένδρα μεγάλα
σὺν ῥαδάμνοις καὶ κλῶνες ἄγνου.
23 ἐὰν γένηται πλήμμυρα, οὐ μὴ αἰσθηθῇ,
※πέποιθεν ὅτι προσκρούσει ὁ Ιορδάνης εἰς τὸ στόμα αὐτοῦ.
24 ※ἐν τῷ ὀφθαλμῷ αὐτοῦ δέξεται αὐτόν,
※ἐνσκολιευόμενος τρήσει ῥῖνα;↙ —
25 ἄξεις δὲ δράκοντα ἐν ἀγκίστρῳ,
περιθήσεις δὲ φορβεὰν περὶ ῥῖνα αὐτοῦ;
26 ※εἰ δήσεις κρίκον ἐν τῷ μυκτῆρι αὐτοῦ,↙
ψελίῳ δὲ τρυπήσεις τὸ χεῖλος αὐτοῦ;
27 λαλήσει δέ σοι δεήσει,
ἱκετηρίᾳ μαλακῶς;
28 θήσεται δὲ διαθήκην μετὰ σοῦ,
λήμψῃ δὲ αὐτὸν δοῦλον αἰώνιον;
29 παίξῃ δὲ ἐν αὐτῷ ὥσπερ ὀρνέῳ
ἢ δήσεις αὐτὸν ὥσπερ στρουθίον παιδίῳ;
30 ἐνσιτοῦνται δὲ ἐν αὐτῷ ἔθνη,
μεριτεύονται δὲ αὐτὸν Φοινίκων γένη;
31 πᾶν δὲ πλωτὸν συνελθὸν οὐ μὴ ἐνέγκωσιν βύρσαν μίαν οὐ-
ρᾶς αὐτοῦ
※καὶ ἐν πλοίοις ἁλιέων κεφαλὴν αὐτοῦ.↙
32 ἐπιθήσεις δὲ αὐτῷ χεῖρα
μνησθεὶς πόλεμον τὸν γινόμενον ἐν σώματι αὐτοῦ,
καὶ μηκέτι γινέσθω.

41 1 οὐχ ἑόρακας αὐτὸν
οὐδὲ ἐπὶ τοῖς λεγομένοις τεθαύμακας;
2 οὐ δέδοικας ὅτι ἡτοίμασταί μοι;

19$^2$ (εγ)καταπ.] pr. εις το AV† || 21$^2$ παπ. .. καλ.] tr. AV† || 22$^1$ εν > A pl. | 22$^2$ ραμνοις S*†, δαραμνοις (sic) A†, οροδαμνοις pl. | αγνου (cf. Leu. 23 40)] αγρου BS* || 23$^1$ αισθηται A(εσθ.)V†: cf. Thack. p. 259 || 24$^2$ fin.] + αυτου A || 26$^1$ ει δησεις κρικον] και ειλησεις κλοιον AV† || 27$^1$ δεησεις AV† | 27$^2$] pr. η S†, pr. και AV† | ικετηριας AV† | μαλακη S*† || 28$^1$ δε > B† | διαθ./μετα σου BSO†(= 𝔐)] tr. rel. || 29$^1$ παιξη δε εν] και εμ(uel ν)πεξεις AV† | 29$^2$ η δησεις] δησ. δε AV† || 30$^1$ εν αυτω] αυτον AV(†) | 30$^2$ μεριουνται S$^c$ | μερ. δε] και μερ. AV†: cf. 3 12 | γενη] εθνη BS || 31$^1$ ενεγκη AV† | βυρσ. μιαν] tr. AV† || 32$^1$ επιθησει B† | αυτω] pr. επ SAV† | 32$^2$ πολεμου του γιγνομενου A† | σωμ.] pr. τω AV† | 32$^3$ > BS*†
41 1$^1$ > BS*† || 2$^1$ ου] ουδε BS | δεδοικας] + αυτον AS$^c$V† | μοι] σοι A†